λέγουσι, μετὰ γλυκῆς τὸ ῥῆμα συντάσσοντες. ἀλλ' ἴσως A πρόξενον ἐνταῦθα οὐκ ἀπιθάνως ἂν λαμβάνοιτο, ἀντὶ τοῦ πρόξενός εἰμι, ἤγουν μεσέγγυος, μεσίτης, ἢ ἐπίτροπος, ἐπιμελητής, κηδεμών. Αφράκτοις] ἀφυλάκτοις. οὐ πεφραγμένοις. ἐνταῦθα δὲ μεταφορικῶς. οἰκήσεις ἄφρακτοι, αἱ περιβολὰς μὴ ἔχουσαι. Ησύχιος. προσπέσῃ δὲ, παρὰ προσδοκίαν, καὶ αἰφνιδίως συμβῇ.

Κλ. Εὐριπίδην ἔφασ' ἄνδρα κηδεστήν τινα
Αὑτοῦ γέροντα, δεῦρ' ἀναπέμψαι τήμερον. B
Χο. Πρὸς ποῖον ἔργον ἢ τίνος γνώμης χάριν;
Κλ. Ιν' ἅττα βουλεύοισθε καὶ μέλλοιτε δρᾶν,
Εκεῖνος εἴη τῶν λόγων κατάσκοπος.
Χο. Καὶ πῶς λέληθεν ἐν γυναιξὶν ὢν ἀνήρ.
Κλ. Αφεῦσεν αὐτὸν κἀπέτιλλ' Εὐριπίδης,
Καὶ τἄλλ' ἅπανθ' ὥσπερ γυναῖκ' ἐσκεύασεν. C
Κη. Πείθεσθε τούτῳ ταῦτα. τίς δ' οὕτως ἀνὴρ
Ηλίθιος, ὅστις τιλλόμενος ἠνείχετο;
Οὐκ οἴομ' ἔγωγ'. ὦ πολυτιμήτω θεώ.
Κλ. Ληρεῖς. ἐγὼ γὰρ οὐκ ἂν ἦλθον ἀγγελῶν,
Εἰ μὴ 'πεπύσμην ταῦτα τῶν σάφ' εἰδότων.
Χο. Τὸ πρᾶγμα τουτὶ δεινὸν εἰσαγγέλλεται.
Αλλ' ὦ γυναῖκες οὐκ ἐλινύειν ἐχρῆν
Αλλὰ σκοπεῖν τὸν ἄνδρα καὶ ζητεῖν ὅπου D
Λέληθεν ἡμᾶς κρυπτὸς ἐγκαθήμενος.
Καὶ σὺ συνέξευρ' αὐτὸν ὡς ἂν τὴν χάριν
Ταύτην τε κἀκείνην ἔχῃς ὦ πρόξενε.
Κλ. Φέρ' ἴδω τίς εἶ πρώτη σύ. Μν. Κη. ποῖ τίς τρέψεται.
Κλ. Ζητητέαι γάρ ἐστε. Μν. Κη. κακοδαίμων ἐγώ.
Γυ. Εμ' εἴτις ἥτις; Κλεωνύμου γυνή.
Κλ. Γιγνώσκεθ' ὑμεῖς ἥτις ἔσθ' ἥδ' ἡ γυνή. E
Χο. Γιγνώσκομεν δῆτ', ἀλλὰ τὰς ἄλλας ἄθρει.
Κλ. Ηδὶ δὲ δὴ τίς ἐστιν ἡ τὸ παιδίον
Εχουσα; Γυ. τίτθη νὴ Δί' ἐμή. Μν. διοίχομαι.
Κλ. Αὕτη σὺ ποῖ στρέφει; μέν' αὐτοῦ. τί τὸ κακόν;
Μν. Εασον οὐρῆσαί μ'. Κλ. ἀναίσχυντος εἶ.
Σὺ δ' οὖν ποίει τοῦτ', ἀναμενῶ γὰρ ἐνθάδε. F
Χο. Ανάμενε δῆτα καὶ σκόπει γ' αὐτὴν σφόδρα.

CLI. *Euripidem dixit quidam virum socerum quendam*
B *Ipsius senem huc misisse hodie.*
CHO. *Ad quam nam rem, vel cuiusnam consilij causa?*
CLI. *Vt quaenam consuleretis, & facturae essetis,*
*Ille esset verborum & consiliorum explorator.*
CHO. *Et quomodo latuit inter mulieres existens vir?*
CLI. *Adussit ipsum, & euellit pilos Euripides,*
C *Et in aliis omnibus quasi mulierem induit & ornauit.*
SOC. *Creditisne isti haec? quis vero ita vir*
*Stultus, qui sibi pilos euelli pateretur?*
*Non arbitror equidem quenquam esse ita stultum, ô venerandae deae.*
CLI. *Nugaris, ego enim nõ venissẽ nũciaturus,*
*Nisi audiuissem haec ab his qui certò sciunt.*
CHO. *Res haec grauis & indigna annunciatur.*
*Sed ô mulieres non morari oportet:*
D *Sed explorare virum & quaerere, vbi*
*Latuit nos occultus sedens.*
*Et tu simul inueni ipsum, vt gratiam*
*Hancq; & illam habeas ô amice.*
CLI. *Age videam, quaenam es prima tu?* SOC. *quò aliquis vertet se?*
CLI. *Excutiendae enim estis & inuestigandae.*
SOC. *miser ego.*
MVL. *Me quaenã es, rogasti? Cleonymi vxor sũ.*
E CLI. *Cognoscitis vos, quaenam est haec mulier?*
CHO. *Cognoscimus profectò, sed alias inspice.*
CLI. *Ista verò quaenam est infantem*
*Habens?* MVL. *nutrix ista est mea.* SOC. *pereo.*
CLI. *Heus tu, quò verteris, & fugis? mane hic, quid malum?*
SOC. *Sinito mingere me.* CLI. *impudens es.*
F *Tu igitur fac hoc, expecto enim hic.*
CH. *Expecta verò, & inuestiga ipsã vehemẽter,*

BOVRDINVS. Κατάσκοπος.] ἵνα περισκοπῇ καὶ ἐξετάζῃ, δοκιμάζῃ τε τίνας ἐν ὑμῖν λόγους διαλέγεσθε, καὶ τί βουλεύσεσθε. Λέληθεν.] αὐτὸν, τουτέστι λάθρα εἰσῆλθεν, ὥστε ὑφ' ἡμῶν ἀγνοηθῆναι. Αφευσεν.] ἐφλόγισεν αὐτόν. Επέτιλλ'.] ἔτιλλε τρίχας, ὥστε μᾶλλον τῇ γυναικὶ ἀφομοιοῦσθαι, καὶ οὐδὲν ἀνδρεικὸν φρονεῖσθαι, καὶ πᾶσαν ὑποψίαν ἀφελεῖν τοῦ ἄνδρα εἶναι. Εσκεύασεν.] καὶ G πᾶσι τοῖς ἄλλοις σκεύεσιν ὥσπερ γυναῖκα κατεσκεύασε. Ηλίθιος.] ἄφρων καὶ τῆς σοφίας ἔρημος. Ω πολυτιμήτω] πολλῆς τιμῆς ἀξίω. ἐπικλητικὸν δὴ καὶ θαυμαστικόν πως. πεπύσμην] ἤκουσα. Ελινύειν ἐχρῆν] τουτέστιν ἡσυχάζειν, βραδύνειν, παύεσθαι, χρονίζειν. ἀρριανὸς, αἱ δὲ κατάσκοπαὶ οὐδέν τι ἐλινύουσαι ἐγίγνοντο. οὐ χρή φησι ὁ χορὸς ἐν ἠρεμίᾳ εἶναι καὶ ἀναπαύσει, ἀλλὰ δεῖ διαζητεῖν ἀκριβέστατα πάντων. Συνέξευρε.] διαζητεῖ καὶ διερευνήσον ἐκεῖνον. Στρέφει.] ἀπέρχει καὶ ἀνακαλινδεῖ.
BIS. Κατάσκοπος] κατάσκοποι, κατοπτεύοντες, ἐπίβουλοι, ἢ δόλων ἐξιχνευταί, δολεροί, δόλιοι. Ησύχιος. νῦν δὲ λόγων κατάσκοπον καλεῖ τὸν τοὺς λόγους σκοποῦντα, καὶ τηροῦντα, ἵνα τούτους ἐκφαίνοι τοῖς ἄλλοις, ἢ τούτους διαλύῃ, καὶ ἐλέγχῃ. Αφευσεν] ἐφλόγισεν, ἔκαυσεν. Ελινύειν,] σχολάζειν, λήγειν, ὀκνεῖν, ἀναπαύεσθαι, διατρίβειν, ἡσυχάζειν, βραδύνειν. Σ. Ησύχ. Αθρει] ὅρα, βλέπε, ἴδε, νόει. Σ. Διοίχομαι] διαφθείρομαι. διέφθορα. ἀπόλωλα. οὕτω καὶ ἐν τῇ Λυσιστράτῃ. „ ἔτ' ὀλίγον γὰρ οἴχετο.